# ΒΥΖΑΝΤΙΑΚΑ ΕΓΓΡΑΦΑ ΤΗΣ ΕΝ ΑΘΩ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΑΤΟΠΕΔΙΟΥ

Τὰ κατωτέρω ἑπτὰ ἔγγραφα, τὰ ὁποῖα ἐπιφυλλάσσομαι νὰ ὑπομνηματίσω ἐν προσεχεῖ τόμῳ τῆς παρούσης Ἐπετηρίδος, ἐφωτογράφησα ἐν Ἁγίῳ Ὄρει κατὰ τὸ 1913 καὶ ἀνεκοίνωσα κατὰ Φεβρουάριον τοῦ 1914 ἐν τῇ ΡΠΘ΄ συνεδρίᾳ τῆς ἐν Ἀθήναις Ἐπιστημονικῆς Ἑταιρείας.[1] Δὲν μὲ λανθάνει ὅτι ἐξ αὐτῶν τὰ ἀπὸ τοῦ ἀριθμοῦ 2 καὶ ἑξῆς ἐδημοσιεύθησαν ἐν τῷ μεταξὺ κατὰ τὸ 1919 ἐν τῷ Γ΄ τόμῳ τοῦ Γρηγορίου Παλαμᾶ (σελ. 209 κ.ἑ.) ὑπὸ τοῦ γέροντος Ἀρκαδίου τοῦ Βατοπεδινοῦ, ἐπειδὴ ὅμως ἡ ἔκδοσις αὕτη δὲν ἐγένετο μετὰ τῆς δεούσης ἐπιμελείας, ἀφ᾽ οὗ πλεῖσται τῶν λέξεων τῶν ἐγγράφων ἔχουσιν ὑπὸ τοῦ ἐκδότου παραναγνωσθῇ, πολλαὶ παραλειφθῇ, ἄλλαι ἄνευ οὐδεμιᾶς ἀνάγκης προστεθῇ, στίχοι δ᾽ ὁλόκληροι, ἕνεκα ἀσαφείας τῆς γραφῆς, ἀποκοπῇ καὶ διὰ τελειῶν ἀντικατασταθῇ, διὰ τοῦτο, χάριν τῶν ἐρευνητῶν, ἔκρινα ἀναγκαιοτάτην τὴν ἐπανέκδοσιν αὐτῶν.

## 1.

### *Συμβιβαστικὸν γράμμα ἐπὶ διενέξεως τῶν μονῶν Βατοπεδίου καὶ Φιλαδέλφου.*

*(26 Δεκεμβρίου τοῦ ἔτους 6510 (1001) ἰνδ. ιε΄.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,75×0,48 τοῦ μέτρου, ὑπ᾽ ἀριθμὸν 1.Β.ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς.

Ἡ μεμβράνη ἐπικεκολλημένη ἐπὶ χάρτου· ἡ γραφὴ ἐν πολλοῖς ἡμιεξίτηλος καὶ δυσανάγνωστος, ἰδίᾳ ἕνεκα φθορᾶς ἐκ τῶν συνδιπλώσεων τῆς μεμβράνης· ὑπαρχόντων ὅμως ἐν τῷ γραμματοφυλακείῳ τῆς μονῆς τεσσάρων παλαιῶν ἀντιγράφων τοῦ γράμματος, ἀνεγνώσθησαν ἐκ τούτων αἱ ἐλλείπουσαι ἢ δυσανάγνωστοι λέξεις τοῦ ἀρχετύπου, αἵτινες καὶ σημειοῦνται ἐντὸς ἀμβλυγωνίων ἀγκυλῶν ⟨ ⟩[2]. Αἱ συντομογραφικαὶ καταλήξεις ὀλίγισται· συντομογρα-

[1] Βλέπε Ἀθηνᾶς τόμ. 26 σελ. 273.

[2] Ἐντὸς παρενθέσεως σημειοῦμεν τὰς συμπληρώσεις τῶν ἐν τῷ κειμένῳ συντομογραφουμένων λέξεων.



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

φοῦνται ἐν τῷ γράμματι αἱ λέξεις: καί, πατήρ, υἱός, πνεῦμα, πνευματικός, σωτήρ, μοναχός, νόμισμα, χρυσός, σταυρός.

| | | | | |
|---|---|---|---|---|
| Ι | Ω | | ΑΡ | CЄ |
| CΗ | Φ | | ΝΙ | ΟC |

† Ἐν ονο(ματι) τοῦ π(ατ)ρ(ὸ)ς (καὶ) τοῦ ὑ(ιο)ῦ (καὶ) τοῦ ἁγίου π(νεύ)μ(ατο)ς. Ἰωσὴφ μοναχὸς (καὶ) ἡγούμενος ⟨τῆς⟩ μονῆς τοῦ Φιλαδέλφου μετὰ (καὶ) τῶν ἐμοὶ διαφερόντων σαρκικων τε καὶ πν(ευμα)τικῶν | ἀδελφῶν, τῶν διὰ τῶν οἰκείων σίγνων τὲ καὶ ὀνομάτων δηλουμένων, οἱ (καὶ) τοὺς ⟨τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδίᾳ χειρί⟩ . . . . . την παρουσαν ἔγγρα⟨φον⟩ καὶ ἐνυ|πόγραφον συμβιβαστικὴν ἀσφάλειαν τιθέμεθα καὶ ποιοῦμεν ἑκουσία ⟨τῇ γνώμῃ καὶ αὐτοπρο⟩αιρέτω βουλήσει καὶ οὔτε ἔκ τινος ἀνάγκης ἢ βίας ἢ χλεύης ἢ ἀ|πειλῆς ἢ δελεασμοῦ ἢ συναρπαγῆς ἢ φάκτου ἀγνοίας ἢ ἄλλων ἁπάντων τῶν ἀποτετραμμένων τοῖς θείοις νόμοις τε καὶ καὶ κανόσιν, σὺν προθυμία δὲ ⟨πάσῃ⟩ | καὶ ὁλοψύχω προθέσει καὶ δίχα παντὸς τρόπου καὶ περινοίας εἰς ὑμᾶς Νικόλαον τὸν ⟨εὐλαβέστατον⟩ μοναχον καὶ ἡγούμενον τῆς εὐαγεστάτης μονῆς τοῦ Βατοπεδίου καὶ | εἰς πάσαν τὴν κατα σὲ ἀδελφότητα ἐπὶ ὑποθέσει τοιαύτη· ἐπειδή περ πρὸ χρόνων τινων ἐκ διαβολικῆς ἐνεργείας προεχώρησαν πολλάκις σκαν|δαλά τε (καὶ) φιλονεικείαι ἀναμεταξὺ ἡμῶν τε καὶ ὑμῶν διὰ τὸ πλησιάζειν την καθ ἡμᾶς μονὴν τῆ ὑπὸ σὲ λαύρα, ὥστε πολλάκις κατελθόντας τοὺς ἁγίους π(ατέ)ρας | ἡμῶν καὶ ἡγουμένους μὴ ἰσχύσαι εἰρηνεῦσαι ἡμᾶς διὰ τὸ ὡς εἴρηται γειτνιάζειν ἡμᾶς ἀλλήλοις· (καὶ) γὰρ τὰ καθ ἡμᾶς μέχρι τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως | προήχθη (καὶ) προστάξει τῆς ἁγίας αὐτοῦ βασιλείας ἐξ αἰτήσεως ἡμῶν, ἐδέξατο ὁ πανεύφημος μάγιστρος ὁ κὺρ Νικηφόρος, το τινικαύτα δομέστικος ὢν τῶν | σχολῶν, τοῦ ἀποστείλαι τὸν ὀφείλοντα τὰ ἀναμεταξὺ ἡμῶν ἀμφιβαλλόμενα καλῶς διευκρινῆσαι· ἐξαπέστειλε δὲ ὁ αὐτὸς

1. *ὀνό(ματι)* . . . *σαρκικῶν* 2. *σίγνων τε* . . . *παροῦσαν* 3. *ἑκουσίᾳ* . . . *αὐτοπροαιρέτῳ* 4. *σὺν προθυμίᾳ* 5. *ὁλοψύχῳ* . . . *μοναχὸν* . . . 6. *πᾶσαν* . . . *κατὰ* . . . *τοιαύτῃ* . . . *τινῶν* 7. *φιλονικίαι* . . . *τὴν καθ'* . . . *τῇ ὑπὸ σὲ λαύρᾳ* 8. *τὰ καθ' ἡμᾶς* 9. *τὸ τηνικαῦτα* 10. *ἀποστεῖλαι*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

πανεύφημος μάγιστρος τὸν εὐ|λαβέστατον (καὶ) τῆ ἀρετὴ περιβόητον μοναχὸν τὸν κὺρ Θεοφύλακτον τοῦ πρεπόντως (καὶ) θεαρέστως τὰ καθημᾶς διοικῆσαι· ὅς ὡς ὄντως πν(ευματ)ικὸς (καὶ) δίκαι|ος ὑπάρχων ἐξισοτῆς, συνεδριαζόντων αὐτῶ (καὶ) πάντων τῶν π(ατέ)ρων (καὶ) ἡγουμένων, τὰ καθημᾶς, ὡς (καὶ) ἤδη εἴρηται, λεπτομερῶς ἐξετάσας, ψῆ|φον ἔγγραφον καθημῶν ἐποιήσατο καταδικάζουσαν ἡμᾶς τοῦ ἐξεωθῆναι μὲν τῆς γῆς, ἐνήπερ ἤ τε μονὴ συνίσταται καὶ οἱ ἀμπελῶνες (καὶ) κῆ|ποι ἐπήκεινται, τὴν δὲ τῆς βελτιώσεως τιμὴν λαβόντας ἡμᾶς τῶν ἐκεῖσε ὑποχωρῆσαι· τούτων οὕτως ὑπ᾽ αὐτοῦ πραχθέντων, τῆ προτέρα ἰδιοτεία | μᾶλλον δὲ ἀπειθεία βαρέως τοῦτο ὑφηγησάμενος, προσῆλθον (καὶ) αὖθις τῶ Χριστομηἡμήτω (καὶ) κραταιῶ ἡμῶν βασιλεῖ (καὶ) προστάξει τῆς αὐτοῦ βασιλε(ίας) | τὴν τοιαύτην δίκην ὑφηγησάμην τῶ ἁγιωτάτω (καὶ) οἰκουμενικῶ πατριάρχη τῶ κυρ Σεργιω· ὁ δὲ διὰ τὸ μὴ παρεῖναι ὑμᾶς τοὺς διαδίκους μου ἐν|τῆ θεοφυλάκτω πόλει μονομερῶς οὐκ ἠθέλησεν, οὐδὲ γὰρ ἐνεδέχετο πέρας δοῦναι τῆ τοιαύτη δίκη· γράμμα ⟨δὲ⟩ τῆς αὐτοῦ ἁγιωσύν(ης) ἀπέστειλε δι|ἐμοῦ αὐτοῦ τῶ εὐλαβεστάτω μοναχω κὺρ Παύλω, τῶ πρώτω τοῦ καθημᾶς ἁγίου ὄρους, ὅπερ γράμμα διελάμβανεν πάντα τὰ παρεμοῦ ἐνώπιον τῆς ἁγιωσύνης | αὐτοῦ κινηθέντα· πρὸς τῶ τέλει δὲ τοῦ γραμματ(ος) ἦν γεγραμμένον οὕτως· ἐὰν δὲ εὔλογα τινὰ προβάληται ἔχειν ὁ δηλωθεὶς καθηγούμενο(ς) διαγραφῆς σου δη|λῶσαι ἡμῖν· ἐν οἷς γὰρ αὐτῶ παρὰ τῶν νόμων ὑπάρχει βοήθεια τὴν δικαιοῦσαν πάντως ἐποίσεται· λοιπὸν προθυμήθητι εὐλαβέστατε ποιῆσαι καθὼς σοὶ ἐγράψαμεν· ἐπαμύ(νων) μὲν τῶ ἀδικηθέντι, τοῦ δὲ ἀδικοῦντος τὴν παράλογον ἀναστέλλων ὁρμ(ήν), (καὶ) σαυτῶ (καὶ) ἡμῖν ἐσαῦθις τὸ ἀνενόχλητον προξεν(ῶν· | ταῦτα τοίνυν ἐγὼ ὁ ῥηθεις Ἰωσὴφ

11. *τῇ ἀρετῇ . . . τὰ καθ' ἡμᾶς* 12. *ἐξισωτὴς . . . αὐτῷ . . . τὰ καθ' ἡμᾶς* 13. *καθ' ἡμῶν . . . ἐξεωσθῆναι . . . ἐν ᾗπερ* 14. *ἐπίκεινται . . . τῇ προτέρᾳ ἰδιωτείᾳ* 15. *ἀπειθείᾳ . . . τῷ Χριστομιμήτῳ (καὶ) κραταιῷ* 16. *τῷ ἁγιωτάτῳ (καὶ) οἰκουμενικῷ πατριάρχῃ τῷ κὺρ Σεργίῳ* 17. *τῇ θεοφυλάκτῳ . . . τῇ τοιαύτῃ δίκῃ* 18. *τῷ εὐλαβεστάτῳ μοναχῷ . . . Παύλῳ τῷ πρώτῳ . . . καθ' ἡμᾶς . . . παρ' ἐμοῦ* 19. *τῷ . . . γράμματ(ος) . . . εὔλογά τινα . . . διὰ γραφῆς* 20. *αὐτῷ δικαιοῦσαν* 21. *τῷ . . . ἐσαῦθις.* 22. *ῥηθείς . . . μονα-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

μοναχο(ς) διαγνούς, (καὶ) ὑπὸ τοῦ οἰκείου συνειδότος βαλλόμενο(ς), ὡς ἀνάξιον ὑπάρχει τῆς μοναχικῆς τάξεως τὸ διαβίου παντὸ(ς) | διαπληκτίζεσθαί τε (καὶ) μάχεσθαι, πολλὰς παρακλήσεις ἐποιησά-μ(ην) πρὸς σὲ (καὶ) διεμοῦ αὐτοῦ (καὶ) διὰ τῶν τιμίων (καὶ) πν(ευ-ματ)ικῶν ἡμ(ῶν) π(ατέ)ρων· ὁ δὲ ὡς ἅτε πν(ευματ)ικο(ς) | (καὶ) τῶ ὄντι συμπαθὴς ἤξας τῆ παρακλήσει ἡμ(ῶν), οὐ γὰρ κατεύλογον ἦσαν τὰ παρ᾽ ἐμοῦ πάντα κινηθέντα, εἰς χρηστὰς ἤλθομεν συμβι-βάσεις· δι|άτοι τοῦτο ἀπαλλαττόμενος ἀπὸ σοῦ τοῦ εἰρημένου Νικο-λά(ου) μο(να)χ(οῦ) (καὶ) τῆς ὑπὸ σὲ πάσης μονῆς τε (καὶ) ἀδελφό-τητος, πασαν τε καταλιμπάν(ων) ἀμφιβολίαν | τε (καὶ) ἀγωγὴν πέπρακά σοι την πολλαχῶς εἰρημένην μονὴν ἐξολοκλήρου διὰ τὸ τὴν γῆν τοῦ τε μοναστηρίου (καὶ) τῶν ἀμπελών(ων) ἀνήκειν τοῖς δικαίοις | τῆς ὑπὸ σὲ λαύρας· τοῦτο δὲ ποιῶν μετὰ διφθενσίονος ἐν (ὀνό)μ(α)τι π(ατ)ρ(ό)ς, υ(ἱο(ῦ (καὶ) ἁγίου πν(εύματο)ς, εἰς σὲ τὸν πολλαχῶς εἰρημένον Νικόλαον μοναχὸν καὶ πάσαν τῆς ὑπὸ σὲ | μονῆς ἀδελφότητα, λαβὼν τὴν ὑπὲρ τῆς τοιαύτης μονῆς τιμὴν διαχαράγματας χρυσοῦ νομίσμ(α)τ(ος) ἑκατὸν ὁλότραχα, ὡς ἤδη (καὶ) πρότην απολαβ(ὴν) | ὑπὲρ τῆς τῶν ἀμπελώνων βελτιώσεως διαχαράγματος χρ(υσοῦ) νομ(ίσματος) τεσσαρακονταενέα ὁλότραχα (καὶ) αὐτά· ὡς εἶναι τὴν πάσαν τιμὴν τῆς τε μονῆς (καὶ) | τῶν ἀμπελωνων χρ(υσᾶ) νομ(ίσματα), διὰ πρώτης (καὶ) δευτέρας κατα-βολῆς, ἑκατὸν τεσσαρακονταενέα· ταύτην τοίνυν τὴν τοῦ εἰρημένου χρυσοῦ ποσότητα | ἀπολαβόντες ἀπὸ χειρὸς σοῦ τοῦ πολλάκις ῥηθέντο(ς) Νικολά(ου) μοναχοῦ (καὶ) ἡγουμένου εἰς τὰς ἡμετέρας χεῖρας κατενώπιον τῶν τιμίων γερόντων, τῶν διατῆς οἰκί(ας) | ὑπογραφῆς δηλωθησομενων ἀσφαλιζόμεθα ὡς (καὶ) ἤδη ειρηται τὴν σήμερον ἡμέραν εἴτις ἐστιν εἰκὰς ἕκτη τοῦ δεκεμβρίου μηνός,

*χὸ(ς) . . . διὰ βίου* 23. *δι᾽ ἐμοῦ . . . πν(ευματ)ικὸ(ς)* 24. *τῷ . . . εἶξας τῇ . . . κατ᾽ εὔλογον* 25. *διά τοι . . . πᾶσαν* 26. *τὴν . . . ἐξ ὁλοκλήρου* 27. *ποιῶ . . . δεφενσίωνος . . . πᾶσαν* 28. *διὰ χαράγματος . . . πρώτην ἀπο-λαβ(ὴν)* 29. *διὰ χαράγματος . . . τεσσαράκοντα ἐννέα . . . πᾶσαν* 30. *ἀμπε-λώνων . . . τεσσαράκοντα ἐννέα* 31. *διὰ τῆς . . . οἰκεί(ας)* 32. *δηλωθη-σομένων . . . εἴρηται . . . ἥτις ἐστίν . . . εἴ ποτε . . . καιρῷ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

ἵνα εἰποτὲ καιρῶ ἢ | χρόνω εὑρεθῶμεν, εἴτε ἐγὼ αὐτὸ(ς) μοναχο(ς) Ἰωσηφ ἢ ἕτερός τις τῶν διαφερόντων ἐμοὶ τὲ (καὶ) τῇ ὑπὲμὲ μονῇ ἐπάγων ὑμῖν ἀγωγὰς τὲ (καὶ) περικοπᾶς περὶ τῆς τοι|αύτης πολυθρυλήτου ὑποθέσεως ἢ μερικῶς ἢ καθόλου, ἐν οἱοδήποτε χρόνω, καθοιονδήποτε τρόπον, εἴτε περὶ ὕλης ἢ βελτιώσεως ἢ γῆς|τῶν τε ἀμπελώνων (καὶ) κήπων (καὶ) χωραφιαίων τόπων, παρεκτὸς τῶν ὑλοκοπίων ὧνπερ ἐκοπάδευσα ἀναμεταξὺ τῶν ἀγρῶν τοῦτε μοναχοῦ Ζωσιμᾶ | (καὶ) τοῦ Κυρίλου, ὁ τοιοῦτος κατὰ μὲν πρώτοις ἔστω ἀλλότριος τῆς ἀμωμήτου ἡμ(ῶν) τ(ῶν) χριστιαν(ῶν) πίστεως, ἔτι δὲ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα, κληρονομῶν (καὶ) | τὴν ἀρὰν τῶν τιή ἁγίων π(ατέ)ρων ἡμῶν· ἀντιστρεφέτω δὲ πρὸςἐτ(ι) (καὶ) τ(ὴν) καταβληθῆσαν τιμὴν τῶν ἑκατὸν τεσσαρακονταενεα νομισμ(άτων) εἰς τὸ διπλάσιον, | ἐκδιωκέσθω ἀπὸ παντὸς κριτηρίου ἐκκλησιαστικοῦ τὲ (καὶ) πολιτικοῦ (καὶ) τῶν π(ατέ)ρων τοῦ καθημᾶς ἁγίου ὄρους ὡς ⟨παραβάτης τῶν⟩ ἰδιοχείρων αὐτοῦ· ἰσχυρὰ δὲ | (καὶ) βεβαία διαμενέτω ἡ παρημῶν ⟨πρὸς⟩ σὲ γενομένη ἔγγραφος (καὶ) ἐνυπόγραφο(ς) ἀσφάλεια, γραφεῖσα διαχειρ(ὸς) Ἀριστοβού(λου) μο(να)χ(οῦ) (καὶ) ἡγουμέ(νου) μον(ῆς) τοῦ ἅγιου ἀπ(οστόλ)ου Ἀνδρέου | ἐν ἔτει τῶ ͵ς φ ί τῶ προγεγραμμένω μηνὶ τῆς ιε΄ ἰνδ(ικτιῶνος) κατενώπιον τ(ῶν) τιμίων γερόντων (καὶ) καθηγουμένων τ(ῶν) διὰ τῶν οἰκείων ὑπογραφῶν δηλωθησομ(ένων) |

† ***Παυλος μο(να)χ(ός). † Νικηφορος μο(να)χὸς) (καὶ) προ(ηγούμενος) παριμι επι τη παρουσι απαλακτικη (καὶ) συμβιβαση (καὶ) επιδοσι των (νομισμάτων) καὶ μ(α) ρ(τυρῶν) υπ(έγραψα) ἰδιοχειρως |***

† ***Γρηγόριος μο(να)χ(ὸς) (καὶ) ηγούμενος μο(νῆς) τοῦ Ραβδού(χου) παρήμην ἐπὶ τῇ παρούσῃ συμβηβαστικη ἀσφαλεία (καὶ) μαρτ(υ)ρῶν) υπ(έ)γραψα ιδιοχειρως † |***

---

33 *χρόνῳ ... μοναχὸ(ς) Ἰωσὴφ ... ἐμοί τε ... τῇ ὑπ᾿ ἐμὲ μονῇ ... ἀγωγάς τε ... περικοπὰς* 34. *οἱῳδήποτε χρόνῳ ... καθ᾿ οἱονδήποτε* 35 *ὧν περ ... τοῦ τε* 36. *Κυρίλλου ... πρώτης* 37. *προσέτι ... καταβληθεῖσαν ... τεσσαράκοντα ἐννέα* 38. *ἐκκλησιαστικοῦ τε ... καθ᾿ ἡμᾶς* 39. *παρ᾿ ἡμῶν ... διὰ χειρὸς ... ἁγίου* 40. *τῷ ... τῷ προγεγραμμένῳ.* 41. *Παῦλος ... Νικηφόρος ... παρήμην ἐπὶ τῇ παρούσῃ ἀπαλλακτικῇ ... συμβιβάσει ... ἐπιδόσει τῶν ... ὑπ(έ)γραψα ἰδιοχείρως.* 42. *ἡγούμενος ... Ῥαβδού(χου) ... τῇ παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ ... ὑπ(έ)γραψα ... ἰδιοχείρως.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

***† Τιμοθ(εος) (μον)αχ(ὸς) ὁ ἰατρο(ς) παρημη ἐπι τῆ παροῦσι συμβιβαστικὴ ἀσφαλία (καὶ) μαρτυρῶν υπεγραψα ἰδία χειρὶ † |***

***† Διονύσιο(ς) (μον)αχ(ὸς) (καὶ) πρεσβυτερος μον(ῆς) τοῦ σ(ωτῆ)ρ(ο)ς παριμ(ην) επι τη παρουσι σιμβατικη ασφαλια (καὶ) μαρτ(υρῶν) υπ(έγραψα) ηδυοχήρος |***

***† Ἀντρ(ό)ν(ι)κος μοναχος κε ηγουμενος μονης του αγηου Νηκηφορου παρημη επη τη συμβηβαστηκη ασφαλη κε μαρτυρον υπεγραψα ηδηοχηρος |***

***† Συμεὼν (μον)αχ(ὸς) ὁ λουτρακηνὸ(ς) παρίμι ἐπὶ τη παρούση συνβιβαστικὴ ἀσφαλειά (καὶ) μαρτ(υρῶν) ὑπεγραψα ἰδιοχειρος.***

***Ιω(άννης) μο(να)χ(ὸς) κε ηγουμενος του Λουτρακηου παρημι ἐπι παρουσι συνβιβαστηκη ασφαλη μαρτυρο υπεγραψα ηδιοχηρως †***

***† Γεοργηος μ(ονα)χ(ὸς) παριμην επη τη παρουση συνβηβαστηκη ασφαληα κε μαρτυρω υπεγραψα ηδια χηρι. |***

***† Ξενοφ(ῶν) (μον)αχ(ὸς) (καὶ) ἡγουμενος τοῦ ἁγιου Γεωργι παρήμη επι τῆ τοιαυτ(η) συμβιβαστικὴ ἀσφαλεία (καὶ) μαρτυρῶν υπεγραψα ἰδιοχ(είρως) †. |***

***† Μιχαηλ (μον)αχ(ὸς) (καὶ) οἰκονόμο(ς) παρήμην ἐπὶ τῆ τοιαυτη συμβιβαστικὴ ἀσφαλεία (καὶ) μαρτ(υρῶν) ὑπέγραψα τὸν μὲν στ(αυ)ρὸν ἰδιοχειρως τὸ δε ὕφος (διὰ) χειρο(ς) του γραφε(ως) |***

***Λεόντιο(ς) μ(ονα)χ(ὸς) (καὶ) ἡγούμεν(ο)ς του ἁγιου Νικολα(ου) παρήμην ἐπὶ τῆ τοιαυτ(η) συμβιβαστικὴ ἀσφαλεία (καὶ) μαρτ(υρῶν) ὑπεγραψα τὸν μὲν στ(αυ)ρὸν ἰδιοχείρως τὸ δε ὕφος (διὰ) χειρο(ς) του γραφε(ως) |***

***† Κυριλλ(ος) μοναχος (καὶ) ειγουμενος παρίμη επὶ τῆ τοιαυτη***

---

43. *Τιμόθ(εος)... ἰατρὸ(ς)... παρήμην ἐπὶ τῇ παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ... ὑπέγραψα ἰδίᾳ...* 44. *πρεσβύτερος... παρήμην ἐπὶ τῇ παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ ... ὑπ(έγραψα) ἰδιοχείρως* 45. *Ἀνδρ(ό)ν(ι)κος μοναχὸς καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Νικηφόρου παρήμην ἐπὶ τῇ συμβιβαστικῇ ἀσφαλείᾳ καὶ μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως* 46. *παρήμην ... τῇ παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ ... ὑπέγραψα ἰδιοχείρως* 47. *Ἰωάννης ... καὶ ἡγούμενος τοῦ Λουτρακίου παρήμην ἐπὶ [τῇ] παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ [καὶ] μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως.* 48. *Γεώργιος... παρήμην ἐπὶ τῇ παρούσῃ συμβιβαστικῇ ἀσφαλείᾳ καὶ μαρτυρῶ[ν] ὑπέγραψα ἰδίᾳ χειρί* 49. *ἡγούμενος... ἁγίου Γεωργίου παρήμην ἐπὶ τῇ τοιαύτῃ συμβιβαστικῇ ἀσφαλείᾳ... ὑπέγραψα* 50. *Μιχαὴλ... τῇ τοιαύτῃ συμβιβαστικῇ ἀσφαλείᾳ... ἰδιοχείρως ... δέ... χειρὸς τοῦ γραφέ(ως).* 51. *τοῦ ἁγίου Νικολά(ου)... τῇ τοιαύτ(ῃ) συμβιβαστικῇ ἀσφαλείᾳ... ὑπέγραψα... δὲ... χειρὸ(ς) τοῦ γραφέ(ως).* 52. *Κύριλλ(ος) μοναχὸς... ἡγού-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

***σοινβιβαστικη ἀσφαλια (καὶ) μαρτ(υρῶν) υπεγραψα ιδιοχιρ(ως).*** |

† ***Γεώργιος (μον)αχ(ὸς) (καὶ) πρ(οηγούμενος) παρημη επι τη τοιαύτη συμβηβαστηκη ασφαλια (καὶ) μαρτ(υρῶν) ὑπεγραψα ηδιοχηρο(ς)***|.

† ***Κυριλλος μο(να)χ(ὸς) (καὶ) ηγουμ(ενος) του Χανα, παρον τη τυαυτη πρασι [καὶ] μ(αρτυ)ρ(ῶν) υπε(γραψα) ιδιοχειρος.***

| Ι | Ω |
|---|---|
| CH | Φ |

(= Ἰωσὴφ) ***μοναχὸς (καὶ) ἡγουμενο(ς) ἀναγνοὺς τὸ ὅλον ὕφος (καὶ) [ἀποδεχόμενος] . . . . προέταξα (καὶ) ὑπέταξα τὸν μὲν στ(αυ)ρὸν σὺν τοῦ ὀνόματός μου*** | ***οἰκεία χειρί, τὸ δὲ ὕφος (διὰ) χειρὸς τοῦ γραφέως.***

| ΑΡ | CE |
|---|---|
| ΝΙ | ΟC |

(= Ἀρσένιος) ***μοναχὸς [ἀναγνοὺς] (καὶ) ἀποδεχόμενος τὴν τοιαύτην πρασιν προεταξα (καὶ) ὑπέταξα τὸν μὲν στ(αυ)ρὸν σὺν τοῦ ὀνόματός μου οἰκεία χειρί,*** | ***τὸ δὲ [ὕφος διὰ χειρὸς τοῦ γραφέως.]***

## 2—7

## *Ἀντίγραφα χρυσοβούλλων λόγων τῶν αὐτοκρατόρων Νικηφόρου Γ´ τοῦ Βοτανειάτου καὶ Ἀλεξίου Α´ τοῦ Κομνηνοῦ, καὶ πιττακίων ἀδήλων αὐτοκρατόρων.*

Ἐπὶ μεμβράνης διαστάσεων 1μ,55×0μ,25, καταγεγραμμένης ὑπ᾿ ἀριθ. 1ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς περιεσώθησαν ἐν ἀντιγράφῳ δύο χρυσόβουλλοι λόγοι ἄνευ ὑπογραφῆς τοῦ ἀπολύσαντος αὐτοὺς αὐτοκράτορος, εἷς βασιλικὸς ὁρισμὸς καὶ τρία βασιλικὰ πιττάκια.

Ἡ γραφὴ τοῦ ἀντιγράφου, ὅπερ διατηρεῖται ἐν ἀρίστῃ καταστάσει, δὲν δύναται νὰ ὁρισθῇ μεταγενεστέρα τοῦ δωδεκάτου αἰῶνος, δεδομένου δὲ ὅτι οἱ ἐν αὐτῷ περιεχόμενοι χρυσόβουλλοι λόγοι ἀπελύθησαν ὁ μὲν ὑπ᾿ ἀριθ. 2 τῆς παρούσης συλλογῆς κατὰ τὸν Ἰανουάριον τοῦ ἔτους ,ϛφπη´ (6588=1080), ὁ δὲ ὑπ᾿ ἀριθ. 3 κατὰ τὸν Φεβρουάριον τοῦ ἔτους ,ϛφϟ´ (6590=1082), συμπεραίνομεν ὅτι τὸ ἀντίγραφον ἐγένετο ὀλίγα ἔτη μετὰ τὴν ἀπόλυσιν τῶν χρυσοβούλλων, ὧν τὸ μὲν ἀποδοτέον εἰς τὸν αὐτοκράτορα Νικηφόρον Γ´ τὸν Βοτανειάτην (1078-1081), τὸ δὲ εἰς τὸν αὐτοκράτορα Ἀλέξιον Α´ τὸν

*μενος παρήμην ἐπὶ τῇ τοιαύτῃ συμβιβαστικῇ ἀσφαλείᾳ... ὑπέγραψα ἰδιοχεί-ρ(ως)* 53. *παρήμην ἐπὶ τῇ τοιαύτῃ συμβιβαστικῇ ἀσφαλείᾳ... ὑπέγραψα ἰδιοχείρω(ς).* 54. *Κύριλλος... ἡγούμ(ενος) τοῦ Χανᾶ, παρὼν τῇ τοιαύτῃ πράσει... ὑπέ(γραψα) ἰδιοχείρως* 55. *ἡγούμενος* 56. *οἰκείᾳ* 57. *πρᾶσιν προέταξα... οἰκείᾳ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

Κομνηνὸν (1081 - 1118). Ἀμφότερα τὰ χρυσόβουλλα ταῦτα εἶνε γεγραμμένα ἐπὶ τῆς αὐτῆς ὄψεως τῆς μεμβράνης.

Ἐπὶ τῆς ἑτέρας τῆς μεμβράνης ὄψεως διὰ τῆς αὐτῆς χειρὸς ἀντιγεγραμμένα κεῖνται τὰ ὑπ' ἀριθ. 4 - 7, ὧν τὸ μὲν εἶνε βασιλικὸν πρόσταγμα ἀπολυθὲν κατὰ μῆνα Ὀκτώβριον τῆς Θ´ ἰνδικτιῶνος, τὰ δὲ λοιπὰ τρία βασιλικὰ πιττάκια, ὧν τὰ μὲν δύο ἀπελύθησαν κατὰ μῆνα Νοέμβριον τῆς αὐτῆς Θ´ ἰνδικτιῶνος, τὸ δὲ τρίτον κατὰ μῆνα Φεβρουάριον τῆς ιγ´ ἰνδικτιῶνος.

Εἰς τίνα ὅμως αὐτοκράτορα πρέπει νὰ ἀποδοθῶσι τὰ τέσσαρα ταῦτα ἀχρονολόγητα γράμματα;

Οἱ ἐν αὐτοῖς ἀναφερόμενοι ἄνδρες, ὁ δοὺξ Σερρῶν καὶ Στρυμόνος Λέων ὁ Ἀκροπολίτης, ὁ ἡγούμενος τῆς μονῆς τοῦ Βατοπεδίου Ματθαῖος, ὁ ἡγούμενος τῆς μονῆς τῶν Ἁγίων Ἀναργύρων Προβονεάγος, καὶ ὁ μέγας ἀδνουμιαστὴς κὺρ Μανουὴλ ὁ Βατραχωνίτης δὲν εἶνε γνωστοὶ ἐξ ἄλλων πηγῶν, ὥστε ἀπὸ τούτων νὰ δυνηθῶμεν νὰ χρονολογήσωμεν τὰ ἀχρονολόγητα ταῦτα βασιλικὰ πιττάκια. Ἡ ἀντιγραφὴ ὅμως τῶν πιττακίων τούτων ἐπὶ τῆς αὐτῆς μεμβράνης μετὰ τῶν περὶ ὧν ἀνωτέρω ὁ λόγος χρυσοβούλλων καὶ ἡ βεβαιότης ὅτι τὸ ἀντίγραφον ἐγένετο πάντως ὀλίγα ἔτη μετὰ τὴν ἀπόλυσιν τῶν χρυσοβούλλων λόγων, ἄγει ἡμᾶς εἰς τὸ συμπέρασμα ὅτι ὁ ἀπολύσας τὰ πιττάκια ταῦτα αὐτοκράτωρ εἶνε πολὺ πιθανὸν νὰ εἶνέ τις τῶν ἀπολυσάντων τοὺς ἐπὶ τῆς αὐτῆς μεμβράνης κειμένους χρυσοβούλλους λόγους. Ἀλλ' ἀφ' ἑτέρου αἱ ἀναγεγραμμέναι εἰς τὰ πιττάκια ἰνδικτιῶνες (θ´ καὶ ιγ´) ἀποκλείουσιν ἀπολύτως πᾶσαν ἰδέαν ἀποδόσεως αὐτῶν εἰς τὸν αὐτοκράτορα Νικηφόρον Γ´ τὸν Βοτανειάτην, καθ' ὅσον οὗτος ἐβασίλευσε κατὰ τὰ ἔτη 1078 - 1081 ἀντιστοιχοῦντα εἰς ἰνδικτιῶνας α´, β´, γ´ καὶ δ´. Πιθανώτατον ἄρα εἶνε ὅτι ἀπελύθησαν ταῦτα ὑπὸ Ἀλεξίου Α´ τοῦ Κομνηνοῦ, ἀσχοληθέντος ὡς γνωρίζομεν ἐπανειλημμένως μὲ τὰς ὑποθέσεις τῶν ἐν ἁγίῳ Ὄρει μονῶν,[1] ἢ ἴσως καὶ ὑπό τινος τῶν διαδόχων αὐτοῦ.

## 2

## *Ἀντίγραφον χρυσοβούλλου λόγου τοῦ αὐτοκράτορος Νικηφόρου Γ´ τοῦ Βοτανειάτου.*

*Ἰανουάριος τοῦ ἔτους 6588 (1080), ἰνδ. γ´.*

† . . . . . . . τῶν γηΐνων (καὶ) χαμαὶ συρω(μέ)ν(ων) ὑλῶν ὁ
1 μοναδικὸ(ς) δίαυλο(ς) οἷα τὸ ἀ|πέριττον ἔχων (καὶ) κενὸν (καὶ) τ(ῆς)
περιβρυθούσ(ης) ταύτης παχύτ(η)το(ς) χωριζόμ(εν)ο(ς) . . . . . . |

1. *συρομ(έ)ν(ων)* . . . *οἷα* 2. *περιβριθούσ(ης)*

[1] Μανουὴλ Γεδεών, Ὁ Ἄθως. Ἐν Κωνπ/όλει, ͵αωπε´ σελ. 101 κ. ἑ. Πρβλ. Γερασίμου Σμυρνάκη Ἐσφιγμενίτου, Ὁ Ἄθως σ. 61 κ. ἑ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

ἀεὶ πρὸ(ς) τὰ μένοντ(α) (καὶ) οἷς . . . . . . . . . . . δεῖ τούτῳ καὶ τροφῆς εὐ|καίρου καὶ περιβλημ(ά)τ(ων) εἰκότ(ως) (καὶ) ἄλλων οἷα καὶ σαρκί(ον) τουτὶ ᾧ συνδεδέμεθα διαρκέσει | πρ(ὸς) σύστασιν ἕ(ως) ὁ συνδήσ(ας) αὐτὸ λόγος λύση καὶ ἀποδιαιρήσει τοῦ πν(εύ-ματο)ς. Οἱ τοίνυν (μον)αχ(οὶ) | τ(ῆς) κ(α)τὰ τὸ ἅ(γιον) ὄρο(ς) μον(ῆς) τοῦ Βατοπεδ(ίου), ἐν ᾗ ἡ ὑπεράμωμο(ς) (καὶ) πάν[α]γ[ν]ο(ς) Θ(εοτό)κος δεσπόζουσα | ἀεὶ (καὶ) ψυχ(ῆς) (καὶ) γνώμης, πν(ευματ)ι-(κῆς) ἔχονται ἀγωνί(ας) | (καὶ) πρὸ(ς) τὰ κρείττονα τ(ὴν) ἀναγ-καί(αν) ἑτοιμά|ζουσι· καὶ οὐδ(ὲν) αὐτοῖς ὁ χθόνιο(ς) οὗτο(ς) χῶρο(ς) πρὸ(ς) ψυχικ(ὴν) σ(ωτη)ρί(αν) δοκεῖ ὅτι μη|δὲ ἥγηνταί τι τῶν ὄντων αὐτ(οῖς) ἰσοστάσι(ον), ἀλλά γε (καὶ) τ(ῆς) σωμ(α)τικ(ῆς) διατροφ(ῆς) μεμερι|μνημέν(ως) ἀντέχον(ται), ἵνα μὴ ἄτροφ(ον) τὸ σῶμα περι-λειφθὲν | πρ(ὸς) τ(ὴν) πν(ευματ)ικ(ὴν) ἀποναρκήση διαγωγήν· κἀντεῦθεν ἐδέησε τούτοις | εὐκουσί(ας) ὁλοτελοῦς ἐπὶ τ(οῖς) προσ-οῦσι πέντε κτήμα(σι) τ(ῆς εἰρημ(ένης) κατ᾽ αὐτοὺς μον(ῆς), ἤγ(ουν)| τὸ κατὰ τὸ Περιθεώρι(ον) ὃ τοῦ Σαλαμᾶ καλεῖται σὺν τὸ ἐντὸ(ς) τοῦ αὐτοῦ κάστρου μετοχ(ίῳ) | αὐτῆς, ἔτι (καὶ) τῷ ἐγγὺς ὄντι τ(ῆς) Χρυσοπό(λεως) προαστείῳ, ὃ Ἀβαρνίκεια κέκληται | (καὶ) τῷ ἐν τῇ περιοχ(ῇ) τ(ῆς) Κασανδρεί(ας) προαστείῳ, ὃ ἅγ(ιος) Δημήτρ(ιος) ὠνόμασται, σὺν τῷ ἁ(γίῳ) Παύλῳ | [καὶ τοῖς] ἑτέροις δυσὶ προ-αστείοις, τῷ τε τοῦ Κυρτοῦ τοῦ Ὑσμ(ή)ρου(;) ἤτ(οι) τοῦ Τριαντα-φύλλου (καὶ) τῷ τοῦ Κριμωτᾶ | . . . . . . . . . ἐγγίζει, ναὶ μὴν (καὶ) τῷ ἔνδον τοῦ κάστρου Χρυσοπό(λεως) ὄντι μετοχ(ίῳ) αὐτῶν| ⟨ σὺν ⟩ πᾶσι τ(οῖς) ἐκεῖσε προκαθεζομέν(οις) ἐνοίκοις τ(ῆς) μον(ῆς)· προσεδέησε δὲ καὶ παροίκ(ων) ἀ|τελῶν κυριότ(η)το(ς) ἵνα πάντ(ως) διά τε τ(ῆς τῶν ἐπηρει(ῶν) εὐκουσί(ας) (καὶ) τῆς τῶν παροίκ(ων) ἐξουσί(ας) | (καὶ) ἐλευθερί(ας) δαψιλῆ τούτ(οις) εἴη τὰ τρόφιμα ὅσ(ον) εἰκό(ς)· καὶ ἀφροντιστῶσι μὲν τούτ(ων) | καθά-παξ, τ(ῆς) πν(ευματ)ικ(ῆς) δὲ καταστάσ(εως) σπουδαιότ(ε)ρ(ον) ἔχον-τ(αι)· ἀμέλει προσελθόντες | τῇ τοῦ κράτ(ους) ἡμ(ῶν) γαληνότ(η)τ(ι), περὶ τούτ(ων) θερμ(ῶς) καθικέτευσαν, (καὶ) οὐκ ἀπῆλθον διάκεν(ον)|

4. *οἶα* 5. *λύσει . . .* 11. *ἀποναρκήσῃ* 12. *ἐξκουσσείας* 13. *τῷ κατὰ . . . . τῷ ἐντὸ(ς)* 15. *Κασσανδρεί(ας)* 18. *προσκαθεζομέν(οις)* 19. *ἐξκουσσεί(ας).*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

τ(ὴν) αἴτη(σ)ι(ν) ποιησάμ(εν)οι, ἀλλ᾽ ἐπέτυχ(ον) τοῦ σκοπ(οῦ) (καὶ) τ(ὸν) παρόντα χρυσόβουλλ(ον) λόγον (παρὰ) | τ(ῆς βασιλ(είας) μου ἀπειλήφα(σ)ι, δι᾽ οὗ πρῶτον μ(ὲν) δωρεῖται τῇ κατ᾽ αὐτ(οὺς) σε(βασμίᾳ) μον(ῇ) τοῦ Βα|τοπεδ(ίου) παροίκ(ους) ἀτελ(εῖς) τὸν ἀριθμ(ὸν) πεντή(κον)τ(α), μήτε δημοσίω ὑποκειμ(ένους) μήτε στρατεία λει|τουργοῦντ(ας) τινί, ἀλλ᾽ ἐλευθέρ(ους) πάντη τυγχάνοντ(ας)· ὡς ἂν δεσπόζη τούτ(ων) εἰς τὸ ἑξῆς, | ἐν τ(οῖς) προειρημ(ένοις) προαστεί(οις) αὐτῆς· τούτ(οις) ἐγκαθιδρῦσαι δέ· εἶτα (καὶ) εὐκουσσεύεσθαι τὰ | τοιαῦτα κτήματα, (καὶ) τοὺς ἐκ παλαιοῦ προσκαθεζομ(ένους) ἐν αὐτοῖς ἐλευθέρ(ους) παροίκ(ους) μισθί(ους)| ἐνοίκ(ους) (καὶ) λοιπ(ούς)· (καὶ) τοὺς νῦν δωρηθ(έν)τ(ας) αὐτῇ (παρὰ) τ(ῆς) βασιλ(είας) μου παροίκ(ους) ἀτελ(εῖς) πεντήκοντα | ζευγαράτ(ους), πρὸ(ς) (δὲ) (καὶ) τ(οὺς) ἐν τῷ κατὰ τ(ὴν) Χρυσόπ(ο)λ(ιν) ἐνοίκ(ους) ἀπὸ πάσης ἐπηρεί(ας) διορίζετ(αι)· | ἤγουν μιτάτων, ἐπιθέσ(εως) ἀρχόντ(ων) ταγματικ(ῶν) (καὶ) θεματικ(ῶν), ῥωμαϊκ(ῶν) τε παραταγῶν (καὶ) ἐθνηκ(ῶν),|ῥῶς, βαράγγ(ων), κουλπίγγων, ἰγγλίγγ(ων), φράγγ(ων), νεμιτζ(ῶν), βουλγ(ά)ρ(ων), σαρακην(ῶν), ῥωμαί)ων), | ἀθανάτ(ων) (καὶ) λοιπ(ῶν)· ἀντιμιτατικί(ων), φραγγονάτ(ων), ἀπλήκτ(ων) ἢ μεσαπλήκτ(ων) (καὶ) τ(ῆς) | ὑπὲρ τῶν ἀπλήκτ(ων) χορηγί(ας) χρει(ῶν), ἐπιθέσ(εως) μονοπροσ(ώ)π(ων), κανισκί(ων) ἢ ἀντικανίσκ(ων), σιταρκήσ(εως) | κάστρ(ων), ἀγορ(ᾶς) μουλαρί(ων), μεσομουλαρ(ίων), βορδωνί(ων), μεσοβορδ(ω)ν(ίων), ἵππων, παριππί(ων), | ὀνοκηλωνί(ων), ὀνοθηλ(ειῶν), φορβάδ(ων), βο(ῶν) ἐργ(α)τ(ι)κ(ῶν) (καὶ) ἀγελαί(ων), χοίρ(ων), προβ(ά)τ(ων), αἰγῶν, | βουβάλλ(ων), κυν(ῶν) λακωνικ(ῶν) ἢ ποιμενικ(ῶν, λαγω(ῶν), ἐλάφ(ων) (καὶ) λοιπ(ῶν) τετραπόδ(ων), χην(ῶν), | νηττ(ῶν), κύκν(ων), ταών(ων), γεραν(ῶν), περδ(ίκων), φασσιαν(ῶν), κατοικιδί(ων) ὀρνίθ(ων), καπών(ων), περι|στερ(ῶν), ὠῶν παντοί(ων)· παροχ(ῆς) γεννημάτ(ων) ἐξαγορ(ᾶς)· ἐνοχ(ῆς) τοῦ δρόμου, τῆς κογ|χύλ(ης)· ἀπαιτήσ(εως) παροικιατ(ικοῦ), ἐννομίου, ἐργασί(ας) καρφ(ίου)· παροχ(ῆς) οἰκομοδ(ίου), κωμοδρομικοῦ, | προσόδ(ου) ἀερικοῦ, κρι-

25. *δημοσίῳ . . . στρατείᾳ* 26. *λειτουργοῦντ(άς) τινι . . . πάντῃ . . . δεσπόζῃ* 27. *ἐξκουσσεύεσθαι* 31. *ἐθνικ(ῶν)* 37. *βουβάλ(ων)* 38. *γεράν(ων)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

θοτελεί(ας), τετραμοδ(ίου), στρατεί(ας), καστροκτησί(ας), ὁδοστρωσί(ας), γεφυρώσ(εως), | τοξατιῶ(νος), ματζουκατιῶνο(ς), ἐκβολ(ῆς) χρει(ῶν) τῶν χορηγουμ(έ)ν(ων) δικαστ(αῖς) ἢ πράκτορσιν | ἢ ἑτέρ(οις) ἄρχουσι, δουξί, κατεπάνω, στρατηγοῖς, πρέσβεσιν ἐθν(ῶν) διερχομένοις | ἢ (καὶ) στρατῷ τινί· ἐκβολ(ῆς) χορτασμάτ(ων), διατροφ(ῆς) πρωτοκεντάρχ(ων) καὶ προ|ελευσιμαί(ων), βεστιαριτ(ῶν) βασιλικ(ῶν) καὶ ἑτέρ(ων) ἀν(θρώπ)ων ἐπί τιν(ας) ἀποστελλομέν(ων) | δουλεί(ας)· ἐκδανεισμοῦ γενημάτ(ων), οἴνου, κρε(ῶν), τυροῦ (καὶ) ἑτέρ(ων) εἰδῶν· ἐξοπλίσε(εως) πλοΐμου, | τοξοτου, ἱπποτοξοτου, κονταράτ(ων), (καὶ) ἑτέρ(ων) στρατιωτ(ῶν)· ἐξωνήσ(εως) ζευγ(α)ρί(ων), σίτ(ου), οἴνου, κριθ(ῆς) βρωμ(ης) | ὀσπρίου, (καὶ) παντοί(ων) ἄλλ(ων) σπερμ(ά)τ(ων), κοπ(ῆς) (καὶ) καταβιβασμ(οῦ) οἱασδήτινο(ς) ξυλ(ῆς) ἢ μετακομηδ(ῆς) ἑτέρου | εἴδ(ους)· πρίσε(ως) σανίδ(ων), κτίσε(ως) χελανδί(ων), ἀγραρί(ων), ζερμόν(ων), πολεμικ(ῶν) πλοί(ων)· κοπ(ῆς) κωπί(ων), | καραβοποιΐ(ας)· καθίσμ(α)τ(ος) τῶν ἐν ὑπεροχ(ῇ) ἀρχ(όντων, δουκ(ῶν), κατεπάν(ων) στρατ(οῦ), κριτ(ῶν), ἀναγραφέ(ων) | στρατ(ώ)ρ(ων), ἐξισωτ(ῶν), ὀρθωτ(ῶν), δικαιοφυλάκ(ων), στρατοπεδάρχ(ων), ἀρχηγετ(ῶν) (καὶ) παντο(ς) πρακτορ(ο)ς δη|μοσί(ων) πραγμ(ά)τ(ων) ἔρευν(αν) ἐπιτετραμμέν(ου), φωσσάτ(ων) ἀναστροφ(ῆς) καὶ ἀπλήκτ(ων), μανδατώρ(ων) τοῦ | δρόμου πρέσβ(εις) ἀγόντ(ων) ἢ ἐξορίστ(ους) ἢ ἄλλ(ους) διερχομέν(ους) (καὶ) πά(σης) ἄλλ(ης) ἐπηρεί(ας) (καὶ) ἀγγαρί(ας) τοῦ δη|μοσίου οὔσ(ης) νῦν (καὶ) ἐσομέν(ης) ὕστερ(ον)· φυλακ(ῆς) ἁρμ(ά)τ(ων), ἀρτοποιΐ(ας), δόσε(ως) χορτασμ(ά)τ(ων) τῶν κυν(ῶν)· παροχ(ῆς) βρωμ(ά)τ(ων) | τῶν ἱεράκ(ων) ἢ τῶν κυν(ῶν) ἢ τῶν πάρδ(ων) . . . . . . . . τῶν . . . . . . . . καστροφυλάκ(ων), ἐπισκεπτιτ(ῶν), προνοητ(ῶν) (καὶ) παντὸ(ς) ἄλλου ἐπηρε|άζ(ειν) δεδυνημένου ποσ(ῶς). Διὸ παρεγγυόμεθ(α) (καὶ) πάντ(ας) ἐξασφαλιζόμεθ(α) ἀπό τε τῶν κατὰ καιρ(οὺς) σακκελλαρί(ων), | γενικ(ῶν) (καὶ) στρατιωτικ(ῶν) λογοθετῶν, τῶν ἐπὶ τ(ῆς) ἡμετέρ(ας) σακελλαρί(ας) (καὶ) τοῦ βεστιαρί(ου), οἰκονόμ(ων) τῶν

41. *καστροκτισί(ας)* 44. *στρατῷ τινι.* 47. *τοξότου, ἱπποτοξότου . . . βρώμ(ης)* 48. *μετακομιδ(ῆς)* 51. *παντὸ(ς) πράκτορ(ος)* 53. *ἀγγαρεί(ας)* 56. *παρεγγυώμεθα* 57. *ἡμετέρ(ας) σακέλλης ;*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

εὐαγῶν οἴκ(ων) | τῶν ἐπὶ τῶν οἰκει(α)κ(ῶν) καὶ τῶν εὐφόρ(ων) τῶν βασι(λικῶν) κουρατωρει(ῶν), εἰδικ(ῶν), γηροτρόφ(ων), ὀρφανοτρόφ(ων), | τῶν ἐπὶ τοῦ θείου ἡμ(ῶν) ταμείου τοῦ Φύλακο(ς), κουρατ(ώ)ρ(ων) τοῦ οἴκου τῶν Ἐλευθερίου (καὶ) τῶν Μαγγά(νων), οἰκονόμ(ου) τοῦ | Ἑβδόμ(ου), οἰκιστι(κοῦ) (καὶ) τῶν ὑπ' αὐτ(οὺς) πρωτονοτ(α)ρί(ων), λογαριαστ(ῶν), χαρτουλαρί(ων), βασιλ(ικῶν) νοτ(α)ρ(ίων) καὶ νοτ(α)ρ(ίων), | δομεστικ(ων) τῶν σχολ(ῶν), δουκ(ῶν), κατεπάν(ων), στρατηγ(ῶν), (καὶ) τῶν ἀντιπροσωπούντ(ων) αὐτ(ῶν), ταξι(αρχῶν), | τουρμ(αρχῶν), μεραρχ(ῶν), χαρτουλαρί(ων) τοῦ τε δρόμ(ου) ⟨καὶ⟩ τῶν θεμάτ(ων), κομήτ(ων) τ(ῆς) κόρτ(ης), δομεστίκ(ων) τῶν θεμάτ(ων), | δρουγγαροκομήτ(ων), πρωτοκεντάρχ(ων), προελευσιμαί(ων) (καὶ) λοιπῶν, συνωναρί(ων), ὡρειαρί(ων), τοποτηρητ(ῶν), παρα|φυλάκ(ων) (καὶ) παντὸς ἑτέρου δούλου τοῦ κοινοῦ μεταχειριζομενου, τοῦ μὴ δένα τῶν ἁπάντ(ων) ἐν οἱωδήπ(ο)τ(ε) | χρόνῳ, καθ' οἱονδήτινα τρόπ(ον) ἐπ' ἀδεί(ας) ἔχ(ειν) ἀνατρέπ(ειν) τ(ὸν) παρόντ(α) χρυσόβουλλ(ον) λόγον | τ(ῆς) βασιλ(είας) μου, γεγενημ(έ)ν(ον) κατὰ τ(ὸν) ἰαννουάριον μῆνα τ(ῆς) τρίτης ἰνδ(ικτιῶνος) ἐν ἔτει τῷ | ͵Ϛφπη´ ἐν ᾧ καὶ τὸ ἡμέτερ(ον) εὐσεβ(ὲς) ⟨καὶ⟩ θεοπρόβλητ(ον) ὑπεσημήνατ(ο) κράτος †

## 3.

## *Ἀντίγραφον Χρυσοβούλλου λόγου τοῦ αὐτοκράτορος Ἀλεξίου Α´ τοῦ Κομνηνοῦ.*

*Φεβρουάριος τοῦ ἔτους 6590 (1082), ἰνδ. ε´.*

† Τὸν τ(ῆς) ἰδί(ας) μάνδρ(ας) ἐπιμελούμ(ενον) κἂν ποιμήν τις ἢ κἂν ὑπὸ ποιμένι τάττοιτο, ἀποδεκτέον ἡγεῖται | τὸ κράτος(ς) ἡμ(ῶν) (καὶ) ἔργ(ον) τίθε(ται) προυργιαίτ(α)τ(α) ἀποπληροῦν ὅσα περ ὑπὲρ αὐτ(ῆς) αἰτούμε(να) φαίνηται· (καὶ) διὰ τοῦτ(ο) οὐ(δὲ)| τ(ὸν) (μον)αχ(ὸν) Σέργιον τ(ὸν) Τουρκόπ(ου)λ(ον) ὑπὲρ τ(ῆς) μάν-

---

58. *ἐφόρ(ων)* 61. *δομεστίκ(ων)* 63. *ὡρειαρί(ων)* 64. *μεταχειριζομένου . . . μηδένα . . . οἱῳδήπ(ο)τ(ε)* 66. *ἰανουάριον.* 1. *ἢ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

δρ(ας) ᾗ ποιμαίν(ε)τ(αι) λογικ(ῆς) ἅμα καὶ ψυχι(κῆς) τ(ῆς) μον(ῆς) φημὶ τοῦ Βατοπεδ(ίου) | δεόμ(εν)ον παρητήσ(α)τ(ο), ἀλλὰ καὶ προσήκατο (καὶ) τ(ὴν) αἴτη(σιν) ἐξεπλήρωσ(ε)· ἡ (δὲ) ταῦτ(α) διηγεῖτο τραν(ῶς)· ὡς ἄρα | τετύπωται ἡ τοιαύτη μονὴ λαμβάν(ειν) σολέμνιον παρά τε τοῦ βα(σι)λ(έως) τοῦ Μονομάχου (καὶ) τοῦ κ(υροῦ) Μιχ(αὴλ) (νομίσματα) | ὀγδοή(κον)τ(α), ὧν τὰ ἡμίση ἐκκέκοπται παρὰ τοῦ μακαριωτ(ά)τ(ου) βασιλ(έως) τοῦ Κομνηνοῦ· εἶτα ἐπὶ τοῖς ὑπολει|φθεῖσι τεσσαράκ(οντα), τριακονταδύο (νομίσματα)· (καὶ) ὡς φορτικ(όν) τι (καὶ) ἐπαχθ(ὲς) τοῖς μοναχοῖς καταφαίνηται,| εἰ κατὰ καιρ(οὺς) στέλλοιντό τιν(ες) παρ᾽ αὐτῶν ἐν τῇ πόλ(ει) (καὶ) χρονοτριβοῦσιν ἐν ταύτη τ(ῆς) λήψε(ως) ἕνεκεν | τοῦ τοιούτου σολεμνίου, ἐλαφρ(ὸν) (δὲ) πάνυ (καὶ) θελητ(ὸν) εἰ τὰ ἐννεακαίδεκα (νομίσματα) τὸ τέλο(ς) τῶν δύο αὐτ(ῶν) | προαστείων τ(ῆς) τε Ἀβαρνικεί(ας) (καὶ) τοῦ ἁγ(ίου) Δημητρ(ίου) τοῦ ἐν τῇ Κασάνδρ(ᾳ) λογισθῶ(σι) διὰ κινναβάρε(ως) | ἀντὶ τῶν ἑβδομή(κ)οντ(α) δύο (νομισμάτων) τοῦ σολεμνίου· τὸ (δὲ) καὶ κωλυθῆναι τὸν κατὰ τ(ὴν) ἡμέρ(αν) κριτ(ὴν) μὴ εἰσέρ|χεσθαι ἐν αὐτοῖς, διὰ τὸ ποτ(ὲ) μ(ὲν) αὐτ(ὸν) (νομίσματα) εἴκοσιν ἀντικάνισκ(ον), ποτ(ὲ) (δὲ) πλείονα λαμβάν(ειν), μέγα τι | ὤετο ὄφελο(ς) τῇ μον(ῇ)· τὸ δέ γε ἐκχωρηθ(ῆναι) νέμεσθαι τὰ κτήνη τ(ῆς) μον(ῆς) (καὶ) τὰ δύο ζεύγη αὐτ(ῶν) ἐν τῷ ὄρει | καθ(ὼς) (καὶ) τὰ τῆς μον(ῆς) τοῦ ὁσ(ίου) π(ατ)ρ(ὸ)ς ἡμῶν Ἀθανασίου ὑπέρμεγα· εἰ (δὲ) (καὶ) αἱ ἐπιτροπαί, αἱ ἀνήκουσαι τῇ τοῦ Βατοπεδ(ίου) | μον(ῇ) προτροπ(ῇ) τῆς βα(σι)λ(είας) μου κατὰ τὸ παλαιὸν ἔθος, ὑπάρχουσιν ἄλλο τοῦτο εὐεργέτημα οὐ μεῖον τῶν ἄλλων | ὑπείληφε· (καὶ) τέλος ἐξκουσσεύεσθαι ἐλιτάνευσε τὰ ἐνοικηκὰ τ(ῆς) μον(ῆς) τὰ ἐν τῷ κάστρ(ῳ) τ(ῆς) Χρυσοπ(ό)λε(ως) ὑπάρχον(τα) | σὺν τῷ λουτρ(ῷ) ἀπὸ πά(ση)ς ἐπηρεί(ας) τε (καὶ) κακώσ(εως). Οὕτω τ(ῆς) αἰτήσε(ως) ἐχούσ(ης) τοῦ (μον)αχ(οῦ) ἡ βα(σιλεία) μου οὐδ᾽ ἐπὶ βραχὺ | πρὸς τ(ὴν) ἐκπλήρωσιν ἀνεβάλλετο, ἀλλὰ τὸν παρόντα χρυσόβουλλ(ον) λόγον τῷ τοιούτῳ (μον)αχ(ῷ) Σεργίῳ ὑπὲρ | τ(ῆς) μον(ῆς) ἐφιλοτιμήσ(α)το, δι᾽ οὗ

3. *μονῆς φημι* 4. *παρητήσ(α)τ(ο)* 8. *ταύτη* 10. *Κασσάνδρ(ᾳ)*
13. *ᾤετο* 16. *ἐνοικικὰ* 18. *ἀνεβάλετο*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

εὐδόκησε τὸ κράτος ἡμῶν λογισθῆναι ἐν τοῖς προσφόροις παρ(κτικοῖς) διὰ | κινναβάρε(ως) χειρὶ τοῦ (πρωτοπρο)έδρου Ἰω(άνν)ου (καὶ) πρωτασηκρῆ(τ(ις), ἀντὶ τοῦ σολεμνίου τ(ῆς) τοιαύτ(ης) μον(ῆς) τῶν οβ´ | (νομισμάτων) τὰ δεκαεννέα (νομίσματα), ἅ τέλος δημοσίου τὰ εἰρημ(έν)α δύο προάστειa τ(ῆς) μον(ῆς) ἔχουσι· τὸ μ(ὲν) γὰρ | αὐτῶν, ὡς ὁ (μον)αχὸ(ς) οὗτος διηγήσατ(ο) Σέργιος, ἤτοι ἡ Ἀβαρνίκεια πεντεκαίδεκα (νομίσματα) τέλ(ος) ἔχει | δημόσιον, τὸ (δὲ) ὁ ἅγ(ιος) Δημήτρ(ιος), τὸ ἐν τῇ περιοχ(ῇ) τ(ῆς) Κασάνδρ(ας), (νομίσματα) τέτταρα· ὡς ἂν ἀ|πό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μήθ᾽ ἡ μον(ὴ) τὰ οβ´ (νομίσματα) λαμβάν(η) τὸ σολέμνιον μήθ᾽ ὁ δημόσιος | τὰ ἐννεακαίδεκα (νομίσματα) τὸ τέλ(ος) τῶν δηλωθέντ(ων) προαστεί(ων) εἰσπράττητ(αι)· μήτε μὴν ἐν παρεκβολαῖς ταῦτ(α) | ἐγγράφητ(αι) μη(δὲ) διδῶνται τ(οῖς) πράκτορσι. Περὶ προχ(ρείας) διορίζεται τὸ κράτος ἡμῶν μηδ(ὲν) ἀπὸ τοῦ πα|ρόντ(ος) (καὶ) εἰς τὸ ἑξῆς ἀπαιτ(εῖν) ἐκ τῶν δύο τούτ(ων) κτημάτ(ων) τὸν θεματικ(ὸν) δικαστ(ὴν) ἢ τὸν πρωτο|κένταρχον τούτου ὑπὲρ χρεί(ας) αὐτοῦ ἢ ἀντικανίσκου, εἰ μὴ κάθισμα τυχ(όν) ἐστιν ἐν αὐτοῖς· βούλεται | (γὰρ) ἡ β(ασιλεί)α μου (καὶ) τῆς ἀπὸ τοῦ κριτ(οῦ) ὀχλή(σεως) ἐλευθεριάζ(ειν) αὐτά, καθίσμ(α)τος ἐν αὐτοῖς μὴ τυγχάνοντος· (καὶ) τοῦτο | δὲ πρὸς αὐτὸν τοῦτ(ον) προστάττει· τὰ δύο ζευγ(ά)ρ(ια) τ(ῆς) μον(ῆς) (καὶ) τ(ὰς) ἀγελαί(ας) βοῦς νέμεσθ(αι) ἀκωλύτ(ως) ἐν τῷ ὄρει | ἕ(ως) ἂν (καὶ) εἰς τὸ λοιπ(ὸν) ὄρος ὦσι ζῶα ταῦτα, ἤτ(οι) τὰ τ(ῆς) μον(ῆς) τοῦ ἁγ(ίου) Ἀθανασίου· ὁπόταν (δὲ) οὐκ εἰσιν ἐν | τῷ ὄρει ἕτερα ζῶα, μη(δὲ) ταύτην τ(ὴν) μον(ὴν) ἔχ(ειν) ἐκεῖσε ζῶα νεμόμ(εν)α· μισεῖ γὰρ ἡ β(ασιλεί)α μου τοὺς νέ(ους) τύπ(ους) | (καὶ) μᾶλλον τοὺς ἐπὶ βλάβ(ην) τυγχάνοντ(ας)· αἱ δέ γε ἐπιτροπαί, αἱ παρά τιν(ων) τῇ μονῇ ταύτῃ τοῦ Βατοπεδί(ου) | ἀνατεθεῖσαι, οὕτ(ως) ἔσοντ(αι) ὥσπερ τὸ πρότ(ε)ρ(ον) (καὶ) ἐπὶ ταύτ(ης) τ(ῆς) μον(ῆς) κριθήσοντ(αι) (καὶ) διοικηθήσοντ(αι) | (καὶ) οὐχὶ ἑτέρου τινος, οὔτε τοῦ πρώτου τοῦ ὄρ(ους), κατὰ τὸ ἤδη ἐν τῷ ὄρει κρατῆσ(αν) ἔθο(ς)· (καὶ) οὐδέ τι | παρ᾽ οὑτινοσοῦν καινισθήσετ(αι) ἢ

23. *Κασσάνδρ(ας)* 31. *ζῶα τοιαῦτα* 33. *βλάβ(η) ... τῇ μονῇ ταύτῃ* 35. *τινός* 36. *παρ᾽ οὑτινοσοῦν ... διωρισμ(ένων)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

ἀλλοιωθήσ(ε)τ(αι) πώπ(ο)τ(ε) τῶν ἐνταῦθα προστεταγμ(ένων) (καὶ) διορισμ(ένων) | τῇ β(ασιλεί)ᾳ μου, ἀλλ' ἔσοντ(αι) πάντα πεπηγότα (καὶ) βάσιμα· (καὶ) τὸ ἐνεργ(εῖν) ὁ γὲ παρὼν χρυσόβουλλος | λόγος, δεικνυόμ(ε)νος τ(οῖς) πᾶ(σιν), ἰσχύσει τὰ ἐν αὐτῷ περιειλημμ(έν)α διαφυλάξαι ἀθιγῆ | (καὶ) ἀνόθευτα, δι' οὗ εὐδοκεῖ τὸ κράτο(ς) ἡμ(ῶν) ἐξκουσσεύεσθ(αι) ἀπὸ πασ(ῶν) τῶν ἐπηρει(ῶν) ἐνοίκ(ους) (μον)αχ(ούς) | τε (καὶ) ἐλευθ(έ)ρ(ους) (καὶ) τῇ τοιαύτῃ μον(ῇ) διαφέροντ(ας) ἐντό(ς) τε (καὶ) ἐκτὸ(ς) τοῦ κάστρ(ου) Χρυσοπό(λεως) σὺν τῷ λουτρ(ῷ) | εἰκοσιτεσσαρας, ἤγουν μιτ(ά)τ(ων) ἐθνηκ(ῶν) πάντ(ων) (καὶ) ῥωμαί(ων) (καὶ) ἀθανάτ(ων), ἀντιμιτατίκ(ων), ἀπλήκτ(ων), καὶ | τ(ῆς) ὑπὲρ τῶν ἀπλήκτ(ων) χορηγί(ας), χρεί(ας), μεσαπλήκτ(ων), κριτ(ῶν), ἀπαιτητ(ῶν), ἐπιθέσ(εως) μονοπροσώπ(ων), δό(σεως) | κανισκί(ων) ἢ ἀντικανίσκ(ὼν), σιταρκήσ(εως) κάστρ(ων), ἀγορ(ᾶς) μουλαρ(ίων), βορδωνί(ων), μεσοβορδωνί(ων), | ἵππ(ων), παριππί(ων), ὀνοκηλωνί(ων), ὀνοθηλει(ῶν), φορβάδ(ων) βο(ῶν) ἐργατ(ικῶν) (καὶ) ἀγελ(αίων), χοίρ(ων), προβ(ά)τ(ων), | αἰγῶν, ἀγελάδ(ων), βουβάλων· παροχ(ῆς) γενημάτ(ων) ἐξ ἀγορα(σίας) γεγενημέ(νων)· ἐνοχ(ῆς) τοῦ δρόμ(ου), οἰκομοδίου, | κομοδρομ(ικοῦ), καπνι(κοῦ) προσόδ(ου), (καὶ) αὐτοῦ τοῦ παλαιοῦ τοῦ εἰς τ(ὴν) μεγάλ(ην) ἐκ προσώπ(ου) τελουμέ(νην) | κελεύει τὸ κράτο(ς) ἡμ(ῶν) ἐκκοπῆναι τέλε(ον)· ἀερι(κοῦ), συνων(ῆς), στρατεί(ας) καστροκτισί(ας), ὁδοστρωσί(ας), | γεφυρώσεως, τοξατιῶνος, ματζουκατιῶνος, παροχ(ῆς) χρει(ῶν) τῶν χορηγουμ(έν)ων δικαστ(αῖς) | ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχ(ουσιν) ἢ πρέσβεσιν ἐθν(ῶν) ἢ ἐρχομ(έ)ν(οις) ἢ (καὶ) στρατῷ τινί· ἐξοπλί(σεως) | πλωΐμ(ων)· διατροφῆς πρωτοκεντάρχων, προελευσιμαί(ων), βεστιαριτ(ῶν), μανδατώρ(ων) | τοῦ δρόμου· ἐξοπλίσε(ως) στρατιωτῶν, ἀρχόντ(ων), καβαλλαρικ(ῶν) ἢ πεζ(ῶν)· κοπ(ῆς) καὶ κατα|βιβασμοῦ οἱασδήτινο(ς) ξυλ(ῆς)· ὑποδοχῆς ἐξορίστων, οὐχὶ τῶν ἐκ βασιλικῆς | προστάξε(ως) πεμπομ(έ)ν(ων) ἐν τῇ τοιαύτῃ μονῇ, ἀλλὰ τῶν ἐκ τοῦ πρώτου τοῦ ὄρους· καθίσματος τῶν | ἐν ὑπεροχ(ῇ) ἀρχ(όν)τ(ων), δουκ(ῶν), κατεπά-

37. *ὅ γε* 41. *εἰκοσιτέσσαρας . . . ἐθνικ(ῶν)* 46. *κωμοδρομ(ικοῦ)*
49. *ἐθν(ῶν) διερχομ(έ)ν(οις) . . . στρατῷ τινι·*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

ν(ων), κριτ(ῶν), στρατηγῶν, στρατευτῶν, ὀρθωτ(ῶν), ἀναγρα|φέ(ων) (καὶ) λοιπ(ῶν), ἀπαιτ(η)τ(ῶν), τοποτηρητ(ῶν), τουρμαρχ(ῶν), χαρτουλαρί(ων) τοῦ τε δρόμου (καὶ) τῶν | θεμάτ(ων), ταξιαρχ(ῶν), ὡρειαρ(ίων), συνωναρ(ίων)· ἀγγαρεί(ας), παραγγαρεί(ας) (καὶ) λοιπ(ῆς) ἁπάσης | ἐπηρεί(ας) οὔσης (καὶ) ἐσομέν(ης). Διὸ παρεγγυόμεθα (καὶ) πάντ(ας) ἐξασφαλιζόμεθα ἀπό | τε τῶν κ(α)τὰ καιρ(οὺς) σακελλαρ(ίων) γεν(ικοῦ) (καὶ) στρατιωτῶν, λογοθετῶν τ(ῆς) ἡμετέρας βασ(ιλ)ε(ίας) (καὶ) τοῦ | βεστιαρ(ίου), τῶν ἐπὶ τῶν οἰκεια(κῶν) (καὶ) τῶν ἐφόρ(ων) τῶν βασιλ(ικῶν) κουρατορει(ῶν), εἰδικ(ῶν), γηρο|τρόφ(ων), ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, τοῦ μηδένα | τῶν ἁπάντ(ων) ἐν οἰωδήπ(ο)τ(ε) χρόνῳ (καὶ) τρόπῳ ἀθετεῖν τ(ὸν) παρόντα χρυσόβουλλ(ον) λόγον | (τ(ῆς) βασιλ(είας) μου γεγενημ(ένον) κατὰ τὸν Φεβρ(ουάριον) μῆν(α) τ(ῆς) πέμπτης ἰνδικτ(ιῶνος) | ἐν ἔτει τῷ ‚ςφη΄· ἐνῷ (καὶ) τὸ ἡμέτερ(ον) εὐσεβὲς (καὶ) θεοπρόβλητ(ον) | ὑπεσημήνατο κράτος.

## 4.

### *Βασιλικὸν πρόσταγμα ἀδήλου αὐτοκράτορος (πιθανῶς Ἀλεξίου Α΄ τοῦ Κομνηνοῦ) περὶ προσαρτήσεως τῆς ἐν Κορομίστα μονῆς τῶν ἁγίων Ἀναργύρων ὡς μετοχίου εἰς τὴν τοῦ Βατοπεδίου μονήν.*

*ἀδήλου ἔτους, ἰνδ. θ΄.*

† Ἔφθασαν μὲν ἀποσπασθῆναι ἀπὸ τῶν κτημ(ά)των | της κατὰ τὸ ὄρο(ς) τοῦ Ἄθου διακειμένης σεβασμ(ίας) | μον(ῆς) καὶ οὕτω π(ως) ἐπονομαζομ(ένης) Βατοπεδ(ίου) τινὰ δ⟨ια⟩|φέροντα ταύτη (καὶ) τῷ μέρει τοῦ δημοσίου προσκυ|ρωθῆναι, ὡς ἐνδε(οῦς) ὄντο(ς) τοῦ δημοσίου τοῦ μέρους | ἐξόδων καὶ ἀναλωμάτων χρηματικῶν (καὶ) ἀλλοί(ων) | τῶν ὑπὲρ τοῦ κοινοῦ καταβαλλομέν(ων) εἰς τ(ὰς) ἐκστρατεί(ας) | (καὶ) λοιπὰς δουλεί(ας), τὰς θ(εο)ῦ νεύσει

56. *ὡρειαρ(ίων)* 57. *παρεγγυώμεθα* 60. *κουρατωρει(ῶν)* 61. *οἰωδήπ(ο)τ(ε)* 2. *της . . . Ἄθω* 3. *οὔτω* 4. *ταύτῃ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

πρὸς σύστασ(ιν) ἀφορώσ(ας) | (καὶ) αὔξησιν καὶ πλατυσμὸν τῶν ῥωμαϊκ(ῶν) σχοινισμάτων, | κατατρόπωσιν (δὲ) (καὶ) ἀποδίωξιν παντὸ(ς) ἀντικειμ(έν)ου | ⟨μέρους⟩ τῆς πρὸ χρόν(ων) ἤδη πολλ(ῶν) τυρανικ(ῶς) ἐκ τ(ῆς) ῥωμαί(ων) | ἀρχ(ῆς) ἐκτεμούσ(ης) χώρ(ας) ῥωμαϊκ(ὰς) (καὶ) καταδουλωσάσης | αὐτάς· ἐπεὶ δὲ διέγνω ἡ β(ασιλεί)α μου ὡς διὰ τὸ στερηθῆναι | τὴν τοιαύτην μονὴν τιν(ῶν) τῶν ἀνηκόντ(ων) αὐτῇ δικαί(ων) ἐστενοχώ|ρηντ(αι) οἱ ἀσκούμ(εν)οι ἐν αὐτῇ (μον)αχ(οὶ) (καὶ) ἀναγκάζοντ(αι) περὶ | τ(ὴν) ζωαρκεί(αν) (καὶ) λοιπὴν οἰκονομ(ίαν) αὐτῶν, ἔγνω (δὲ) (καὶ) τοῦτο | ἡ β(ασιλεί)α μου ὡς ἡ περὶ τ(ὴν) Κορομίσταν διακειμ(έ)ν(η) σε(βασμία) μονή, ἐ|π' ὀνόματί τε τιμωμ(ένη) τῶν ἁγίων Ἀναργ(ύ)ρ(ων) καὶ περιωνύμ(ων) ἐν θαύ|μασιν, οὐκ ἔχει τ(ὸν) ἱκαν(ὸν) ὄντα εἰς προστασί(αν) αὐτ(ῆς), κἀντεῦθ(εν) οἱ ἀγελαζόμ(ε)νοι | ἐν ταύτῃ μονάζοντ(ες) οὐ διϊθύνοντ(αι) πρὸ(ς) τ(ὴν) μοναδικ(ὴν) πολιτ(είαν) καθ(ὼς) δεῖ | (καὶ) τὰ περὶ αὐτὴν ἐξ ἀμελεί(ας) (καὶ) ἀφελεί(ας) ἐπὶ τὸ χεῖρ(ον) ἐπιβιβάζοντ(αι), | κατεστοχάσατο ἡ βασιλ(εία) μου Χ(ριστο)ῦ τῇ χάριτι τὸ ἱκαν(ὸν) περιποιήσασθαι [(καὶ)] ἀμ|φοτέροις τ(αῖς) δηλωθείσ(αις) μον(αῖς)· ὅθεν (καὶ) τὸ παρὸν αὐτὸ πρόσταγμα | ὡς θέσπισμα (καὶ) ὅρ(ον) ἀμετακίνητ(ον) ἐκτίθησι ἡ βασιλ(εία) μου (καὶ) ἐπο|ρέγει τούτ(ον) τῇ τοῦ Βατοπεδ(ίου) διαλειφθείσῃ σε(βασμίᾳ) μονῇ, δι' οὗ καὶ | (παρα)κελεύεται εἶναι τ(ὴν) δηλωθεῖσαν σε(βασμίαν) μονὴν τῶν ἁγίων Ἀναργ(ύ)ρ(ων) | ὡς μετόχ(ιον) (καὶ) ὑπὸ τὴν ἐπικράτει(αν) τ(ῆς) σε(βασμίας) μον(ῆς) τοῦ Βατοπεδ(ίου) | (καὶ) ὑπερέχ(ειν) τ(ὸν) τιμιώτ(α)τ(ον) καθηγούμεν(ον) τοῦ οἰκονομεύοντος τ(ῆς) | τῶν ἁγίων Ἀναργ(ύ)ρ(ων) μον(ῆς) ὡς ὑπερφέροντα ἐκεῖν(ον) τούτου κατά τε τὴν | (μον)αχικ(ὴν) πολιτ(είαν) τ(ὴν) ἐνάρετόν τε διαγωγὴν (καὶ) κατὰ γνῶσ(ιν) ἔμπρακτον | (καὶ) διεξαγωγὴν τῶν περὶ τ(ὴν) τοιαύτ(ην) μον(ὴν) κτημάτων (καὶ) λοιπ(ῶν) ειδῶν | (καὶ) ἱκαν(ὸν) ὄντα ῥυθμίζ(ειν) τ(οὺς) ἐν τῇ τοιαύτῃ μονῇ (μον)αχ(οὺς) ἔχεσθαι τ(ῆς) μοναχικ(ῆς) | πολιτ(είας) ὡς δεῖ (καὶ) πρὸ(ς) αὔξησ(ιν) (καὶ) βελτίωσιν ἀποκαθι-

---

16. *ζωαρκί(αν)* 23. *ἀμφοτέραις* 25. *τοῦτ(ον) . . . διαληφθείσῃ* 32. *τοιαύτῃ μονῇ ... ἀποκαθιστάναι*



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

στᾶναι | (τοὺς) περὶ αυτ(ὴν) ἅπαντας· διορίζεται (γὰρ) ἡ βασιλ(εία) μου οἰκονομ(εῖν) τὸν καθηγού|μενον τ(ῆς) τοῦ Βατοπεδ(ίου) μον(ῆς) ἅπαντα τὰ περὶ τ(ὴν) δηλωθεῖσ(αν) σε(βασμίαν) μονὴν | τῶν ἁγίων ἀναργ(ύ)ρ(ων) καὶ εἶναι τοῦτον φροντιστὴν πρῶτον (καὶ) αἴτι(ον) τ(ῆς) | διεξαγωγῆς καὶ οἰκονομίας αὐτῶν· πρὸ παντὸς δὲ φροντίζειν αὐτὸν καὶ | ἔχειν τὸν πάνσεπτον καὶ θεῖον ναὸν τῆς δηλωθείσης μονῆς τῶν τιμίων | Ἀναργ(ύ)ρ(ων) τ(ὴν) ὀφειλομέν(ην) αὐτῇ παννύχι(ον) κατὰ τὸ εἰκὸ(ς) ψαλμωδ(ίαν) (καὶ) λυχνοκαΐαν | τ(ὴν) πρέπουσ(αν)· ἐφ᾽ ᾧ καὶ ὁ προϊστάμ(ενος) τ(ῆς) τοιαύτης μον(ῆς) τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων), | ἀλλὰ δὴ (καὶ) οἱ ἐν ταύτῃ μονάζοντ(ες) ἅπαντ(ες), ὅσοι τε τὸν θεῖ(ον) ὕμν(ον) ᾄδ(ειν) ἐπί|στανται (καὶ) ὅσοι τ(ὴν) ἐνοχ(ὴν) τῶν ἀνηκόντ(ων) τῇ τοιαύτῃ μονῇ λειτουργημάτων | ἐπίκειντ(αι) ὀφείλουσ(ιν) ὑποκεῖσθαι τῷ κατὰ καιρ(οὺς) ἡγουμενεύοντι τῆς τοῦ | Βατοπεδίου μον(ῆς) ὡς πρωτοπροϊσταμένω (καὶ) φροντιστῇ ὄντι καὶ διε|ξαγωγῆς (καὶ) τ(ῆς) κατ᾽ αὐτ(οὺς) δηλωθείσ(ης) μον(ῆς), ἔχ(ειν) τὲ εἰς αὐτ(ὸν) κατὰ (τὴν) τοῦ θείου ἀπο(στόλου) | Παύλ(ου) φων(ὴν) εὐπείθει(αν) (καὶ) τιμ(ὴν) τ(ὴν) προσήκουσ(αν), (καὶ) ὑπείκειν) αὐτῷ ἐπὶ | πᾶσιν οἷς ἂν ἐπιτάττωντ(αι) ποι(εῖν) παρ᾽ αὐτ(οῦ), τοῖς κατὰ τ(ὴν) τῶν θεί(ων) (καὶ) ἱερῶν| (κανόνων) παράδοσ(ιν) συντείνουσ(αν) αὐτ(οῖς) πρὸ(ς) τ(ὴν) μοναχικ(ὴν) πολιτείαν | (καὶ) ψυχικ(ὴν) σ(ωτη)ρί(αν) αὐτῶν (καὶ) πρὸ(ς) διόρθωσ(ιν) τῶν ἐξ ἐπηρεί(ας) σατανικ(ῆς) κατα|πιπτόντ(ων) εἰς πτωμ(α)τ(α), λύμ(ην) προξενοῦντ(α) τ(οὺς) ἐν αὐτοῖς καταπίπτοντας |(καὶ) μὴ δυσχεραίν(ειν) αὐτ(οὺς) διὰ ⟨τὸ⟩ τῶν κανονικ(ῶν) (παρα)δόσε(ων) στῦφ(ον) ἐν οἷς | πρὸ(ς) θεραπεί(αν) ἀφορῶσι τῶν ψυχικ(ῶν) νοσημάτ(ων), (καὶ) ἄλλ(ας) ἐξ ἄλλων | προφασίζονται κεν(ὰς) ἀφορμ(άς), (καὶ) μώμ(ους) προσάπτ(ειν) (καὶ) ὀχλήσ(εις) | τῷ τ(ῆς) τοῦ Βατοπεδί(ου) καθηγεμόνι μον(ῆς)· ἐφοῖς (γὰρ) ἂν τοιουτωτρόπ(ως) | ὁρμή-

---

34. *αὐτ(ὴν)* 37 *καὶ* 38. *Ἕνεκα ἀτυχήματος περὶ τὸ φωτογραφικὸν πανομοιότυπον τοῦ ἀρχετύπου ἀμφοτέρων τῶν στίχων τούτων ἡ ἀνάγνωσις ὀφείλεται εἰς τὴν εὐμενῆ προθυμίαν τοῦ ἱερολογιωτάτου κ. Ἀρκαδίου τοῦ Βατοπεδινοῦ ἐπιστείλαντός μοι τούτους.* 40. *ψαλμῳδίαν* 41. *ταύτῃ ... ᾄδ(ειν)* 42. *τοιαύτῃ μονῇ* 44. *πρωτοπροϊσταμένῳ ... φροντιστῇ* 45. *τε* 48. *συντείνουσ(ιν)* 50. *πτώμ(α)τ(α) ... τ(οῖς) ... καταπίπτουσιν* 54. *ἐφ᾽ οἷς ...*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

σωσιν, οἱ ἐν τῇ μονῇ τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) μονάζοντ(ες), ὄχλησιν | προξενῆσαι τῷ καθηγουμ(έν)ῳ τ(ῆς) τοῦ Βατοπεδ(ίου) μον(ῆς), ἕξουσι τὸ | ἀνήκοον πάντη (καὶ) ἀπαράδεκτον, ἀλλὰ καὶ ὁ κατὰ καιρ(οὺς) μ(ητ)ροπο(λί)τ(ης) Φιλίππ(ων), ἀρκεσθήσετ(αι) ἐπὶ μόνη τῇ ἐξέθ(ους) τούτω ἀναφορᾶ, οὔτε | γὰρ οὗτος ἕξει ἐπ᾽ ἀδεί(ας) ἑλκῦσαι αὐτ(οὺς) εἰς παράλογον δόσιν | (καὶ) ὄχλησιν τ(ὴν) ἀπάδουσ(αν). Διὰ (γὰρ) τοῦτο ἐγεγόνει τῇ τοῦ Βα|τοπεδ(ίου) διαληφθείσῃ σε(βασμίᾳ) μονῇ ⟨εἰς⟩ ἀσφάλει(αν) (καὶ) βεβαίωσ(ιν) | τὴν περὶ τούτου (καὶ) ὁ παρὼν τ(ῆς) βασιλ(είας) μου ὁρισμό(ς)· μηνὶ ὀκτ(ωβ)ρ(ίῳ) | ἰν(δικτιῶνος) Θ′. †.

## 5.

***Βασιλικὸν πιττάκιον ἀδήλου αὐτοκράτορος (πιθανῶς Ἀλεξίου Α′ τοῦ Κομνηνοῦ) πρὸς τὸν ἡγούμενον τῆς μονῆς τοῦ Βατοπεδίου Ματθαῖον, περὶ τῆς αὐτῆς πρὸς τὸ προηγούμενον βασιλικὸν πρόσταγμα ὑποθέσεως.***

*Ἀδήλου ἔτους, ἰνδ. θ′.*

† Τιμιώτ(α)τ(ε) καθηγού(μενε) τ(ῆς) σε(βασμίας) μον(ῆς) τοῦ Βατοπεδ(ίου) ἱερο(μόν)αχ(ε) κὺρ [Ματθαῖε]· ἡ γραφ(ή) σου διε|κομίσθη (καὶ) ὑπανεγνώσθη τῇ βασ(ιλείᾳ) μου, ἐν ᾗ καὶ παρεδήλωσ(ας) ὅτι ἐπὶ τῇ προκυρωθείσῃ | μονῇ τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) διὰ προστάγμ(α)το(ς) τ(ῆς) βασ(ιλείας) μου τῇ ὑπὸ σὲ μον(ῇ), εὑρίσκ(εις) δυναστεί(αν) (καὶ) | ὄχλησ(ιν) ἀπὸ τοῦ Προβονεάγου· ἐπεὶ γοῦν ὡς οἶδ(ας) ὡς θέσπισμά τι ἐκύρωσ(εν) ἡ βασ(ιλεία) μου | τ(ὸν) ἀπολυθέντα ὁρισμ(ὸν) αὐτ(ῆς) ἐπὶ τὸ εἶναι τ(ὴν) δηλωθ(εῖσαν) μον(ὴν) τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) ἐπὶ τῇ ὑ|πὸ σὲ μονῇ, τίς ἐστιν οὗτο(ς) ὁ Προβονεάγο(ς) ἢ ἕτερός τις μικρὸ(ς) ἢ μέγας τολμῆσαι | ὅστις παραθεωρῆσαι τ(ὸν) τοιοῦτ(ον) ὁρισμὸν τ(ῆς) βασ(ιλείας) μου (καὶ) ὄχλησ(ιν) τινὰ προσενεγκ(εῖν) τῇ ὑπὸ | σὲ μον(ῇ) χάριν τ(ῆς)

*τοιουτοτρόπ(ως)* 55. *μονῆ* 56. *καθηγουμ(έν)ῳ* 57. *πάντῃ* 58. *μόνῃ . . . ἐξ ἔθ(ους) . . . τούτῳ ἀναφορᾷ* 60. *ἀπάδουσ(αν)* 61. *μονῆ*

2. *προσκυρωθείσῃ* 3. *μονῇ* 7. *ὄχλησ(ιν) τινα*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

κατοχ(ῆς) τ(ῆς) τῶν ἁγ(ίων) Ἀναργ(ύ)ρ(ων) μον(ῆς) (καὶ) τῶν ἀνηκόντ(ων) ταύτη δικαί(ων) | ἁπάντ(ων)· τοῦτ(ο) σοὶ διορίζεται ἡ βα(σιλεία) μου ἵνα ἑδράζῃ(ς) ἐπὶ τῷ τοιούτ(ῳ) ὁρισμῷ τ(ῆς) | βα(σιλείας) μου τῷ ἀπολυθέντι σοι χάρ(ιν) τῆς τοιαύτης ὑποθέσ(εως) καθ(ὼς) ἐπὶ θεμελ(ίῳ) ἀρραγῆ | (καὶ) κατὰ τ(ὴν) περίληψ(ιν) τούτου κατέχης τῇ τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) μον(ῇ) (καὶ) εἴτι δίκαι(ον) ἀνήκει αὐτῇ | (καὶ) ὅν γνωρί(σῃς) πειραθησόμ(εν)ον παραβλέψαι τ(ὸν) χάριν τούτου ἀπολυθέντα σοι ὁρισμ(ὸν) | τ(ῆς) βασ(ιλείας) μου τ(ὸν) τοιοῦτ(ον) καθ(ὴν) ἂν ἔχης ἰσχῦ(ν) ἀναχαιτίζης καὶ ἀποσοβῆς ὡς | περιφρονητ(ὴν) τοῦ τ(ῆς) βασ(ιλείας) μου προστάγμ(α)τος: — μηνὶ νοε(μβ)ρ(ίῳ) ἰν(δικτιῶνος) Θ΄.

## *6.*

***Βασιλικὸν πιττάκιον ἀδήλου αὐτοκράτορος (πιθανῶς Ἀλεξίου Α΄ τοῦ Κομνηνοῦ) πρὸς τὸν δοῦκα Σερρῶν καὶ Στρυμόνος Λέοντα τὸν Ἀκροπολίτην περὶ τῆς αὐτῆς ὡς καὶ τὸ προηγούμενον πιττάκιον ὑποθέσεως.***

*Ἀδήλου ἔτους ἰνδ. θ΄.*

† Δοὺξ Σερρ(ῶν) καὶ Στρυμῶνο(ς) Λέων Ἀκροπολίτ(α) ἡ βασ(ιλεία) μου προσεκύ|ρωσε τῇ σε(βασμίᾳ) μονῇ τοῦ Βατοπεδ(ίου) διὰ προστάγματο(ς) αὐτ(ῆς) τ(ὴν) τ(ῶν) ἁγ(ίων) Ἀναργ(ύ)ρ(ων) | μον(ήν)· ἔγραψε (δὲ) τῇ βασ(ιλείᾳ) μου (καὶ) ὁ τιμιώτ(α)το(ς) καθηγούμ(εν)ο(ς) τ(ῆς) τοιαύτ(ης) σε(βασμίας) μον(ῆς) τοῦ | Βατοπεδ(ίου) ὡς εὑρίσκει δυναστ(είαν) (καὶ) ὄχλησ(ιν) ἀπὸ τοῦ Προβονεάγ(ου) ἐπὶ τῇ | προσκυρθείσῃ μονῇ τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) τῇ ὑπ' αὐτ(ὸν) μον(ῇ) τοῦ Βατοπεδ(ίου) παρα|θεωροῦντο(ς) τοῦ τοιούτου Προβονεάγου (καὶ) τ(ὸν) ἀπολειφθέντ(α) τῇ τοιαύτῃ μονῇ | ὁρισμ(ὸν) τ(ῆς) βασ(ιλείας) μου (καὶ) διορίζεταί σοι ἡ βασ(ι-

8. *ταυτη* 10. *θεμελ(ίῳ) ἀρραγεῖ* . . . 11. *κατέχῃς* 13. *καθ' (ἣν)* . . . *ἔχῃς ἰσχὺν* . . . *ἀναχαιτίζῃς* . . . *ἀποσοβῇς*

1. *Ἀκροπολῖτ(α)* 2. *μονῇ* 3. *τῇ* 5. *προσκυρωθείσῃ μονῇ* 6. *τοιαύτῃ*

λεία) μου ὡς ἂν ἐπάρ(ῃς) τὰ δικαι|ώματ(α) τ(ῆς) τοιαύτ(ης) μον(ῆς) τῶν ἁγ(ίων) Ἀναργ(ύ)ρ(ων) ἀπὸ τοῦ τοιούτ(ου) Προβονεάγου καὶ (παρα)|δώσεις ταῦτ(α) πρὸ(ς) τ(ὴν) μον(ὴν) τοῦ Βατοπεδ(ίου)· ἔκτοτ(ε) δὲ ἐπιφωνήσῃς ἀπέχ(ειν) | τέλε(ον) τ(ὸν) τοιοῦτ(ον) Προβονεάγον ἀπὸ τ(ῆς) τοιαύτης μον(ῆς)· ἀντιστρέψεις (δὲ) | τῷ μέρει τ(ῆς) τοιαύτ(ης) μον(ῆς) (καὶ) τ(ὸν) παρόντα τ(ῆς) βασ(ιλείας) μου ὁρισμὸν ὅπ(ως) καὶ οἱ | μετὰ σὲ αὐτοθι δικαιω(ταὶ) τοῦ δημοσίου ἐνεργήσοντ(αι), ἀντιλαμβά|νοντ(ες) τοῦ μέρ(ους) τ(ῆς) τοιαύτ(ης) μον(ῆς) (καὶ) δεφενδεύωσιν αὐτ(ὴν) † μηνὶ νοε(μβ)ρ(ίῳ) ἰνδ(ικτιῶνος) Θ΄ †

## 7.

***Βασιλικὸν πιττάκιον ἀδήλου αὐτοκράτορος (πιθανῶς Ἀλεξίου Α΄. τοῦ Κομνηνοῦ) πρὸς τὸν μέγαν ἀδνουμιαστὴν Μανουὴλ Βατραχωνίτην περὶ τῆς αὐτῆς πρὸς τὰ προηγούμενα πιττάκια ὑποθέσεως***

*Ἀδήλου ἔτους, ἰνδ. ιγ΄.*

† Πανσέ(βαστε) σ(εβαστ(ὲ) οἰκεῖε τῇ βασ(ιλείᾳ) μου μέγα ἀδνουμιαστὰ κὺρ Μανουὴλ Βατραχωνίτα·|ὁ τιμιώτ(α)το(ς) καθηγούμ(εν)ος τ(ῆς) σε(βασμίας) μον(ῆς) τ(ῆς) βα(σιλείας) μου, τ(ῆς) ἐπ᾽ ὀνοματι τιμωμ(ένης) τ(ῆς) ὑπεράγνου μου | θεομητ(ο)ρ(ος) τοῦ Βατοπεδ(ίου), ἀνέφερε τῇ βα(σιλείᾳ) μου ὅτι ἔχει ἡ κατ᾽ αὐτ(ὸν) μονὴ κτήματα ἔκπαλαι | (καὶ) διὰ χρυσοβούλλ(ων) τῶν ἀοιδίμ(ων) ἐκείν(ων) βασιλ(έων) (καὶ) διὰ χρυσοβούλλ(ου) τ(ῆς) βα(σιλείας) μου, ἀλλὰ | (καὶ) τὴν δωρηθεῖσ(αν) αὐτῇ εἰς μετόχ(ιον) παρὰ τ(ῆς) βασ(ιλείας) μου, τ(ὴν) μον(ὴν) τῶν ἁγί(ων) Ἀναργ(ύ)ρ(ων) μετὰ| τῶν ὑπ᾽ αὐτ(ὴν) δικαίων· καὶ εἰσὶ τινὰ ἐξαλείμματα ἐν τοῖς τοιούτ(οις) κτήμασιν, εἰς ἅ|τινα ἔθικ(ας) σὺ ἀν(θρώπ)ους (καὶ) ἀπεδεκάτισαν τ(ῶν) τοιούτ(ων) κτημάτ(ων) τὰ ἐξαλείμ|ματα· καὶ ἐδεήθη

9. *(παρα)δώσῃς* 10. *ἀντιστρέψῃς* 12. *αὐτόθι* ...*ἐνεργήσωνται*
1. *Βατραχωνῖτα* 2. *ὀνόματι* 3. *θεομήτ(ο)ρ(ος)* 6. *εἰσί τινα*
7 *ἔθηκ(ας)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38

χάριν τούτ(ου) τῇ βασ(ιλείᾳ) μου· ἡ βα(σιλεία) μου γοῦν τ(ῆς) δεήσε(ως) αὐτοῦ ἐπακού|σασα, διορίζεταί σοι ὡς ἂν μήτε τ(ὴν) εἴσοδ(ον) τῶν τοιούτ(ων) ἐξαλειμμάτ(ων) ἐπάρῃς| μήτε ἀποσπάσῃς τί ἐκ τῶν ὧν κατέχει ἡ τοιαύτη μονὴ κτημάτ(ων) εἴτε ἐξα|λειμμάτων, ἀλλὰ μένῃ πάντοτε ἀνενόχλητο(ς) (καὶ) ἀδιάσειστο(ς) ἐφ᾿ οἷς δικαίοις εὑρίσκετ(αι) | ἔχουσα· ἐπεὶ (γὰρ) (μον)αχ(οὶ) εἰσὶ καὶ τοῦ θ(εο)ῦ ἄν(θρωπ)οι (καὶ) τ(ῆς) βα(σιλείας) μου ὑπερεύχοντ(αι) ἐκτενέστ(ε)ρ(ον) | διορίζεταί σοι ἡ βασ(ιλεία) μου ἵνα μηδὲν ἀποσπάσῃς ἀπὸ τῶν ὧν ἔχει ἡ τοιαύτη μονὴ | κτημ(ά)τ(ων) μήτε μὴν ἐπαίρῃς τὴν εἴσοδ(ον) τῶν ἐξαλειμμ(ά)τ(ων) αὐτῆς, ἀλλὰ μένῃ κατὰ τὸ| ἀκέραιον ἀνενόχλητο(ς)· ποίησ(ον) τοίνυν κατὰ τ(ὸν) παρόντα τ(ῆς) βα(σιλείας) μου ὁρισμόν, ὃν | (καὶ) ἀντίστρεψον αὐτῇ δι᾿ ἀνενοχλησίαν: — μη(νὶ) φε(β)ρ(ουαρίῳ) ἰνδ(ικτιῶνος) ιγ΄. †.

ΜΙΧΑΗΛ ΓΟΥΔΑΣ

10. *ἀποσπάσῃς τι* 11. *μένῃ* 12. *μοναχοί εἰσι* 13. *μηδεν ἀποσπάσῃς* 14. *ἐπαίρῃς . . . μένῃ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 07:08:13 EEST - 3.18.102.38